ϙα ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ ἀποτομῆς τρί-
της· ἡ τὸ χωρίον δυναμένη μέσης ἀποτομή ἐστι δευ-
τέρα· χωρίον γὰρ τὸ ΑΒ περιεχέσθω ὑπὸ ῥητῆς τῆς
ΑΓ καὶ ἀποτομῆς τρίτης τῆς ΑΔ· λέγω ὅτι ἡ τὸ ΑΒ
χωρίον δυναμένη μέσης ἀποτομή ἐστι δευτέρα· ἔστω
δ τοῦ θ γὰρ τῇ ΑΔ προσαρμόζουσα ἡ ΔΗ· αἱ ΑΗ ΗΔ ἄρα
ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· καὶ οὐδετέρα τῶν
ΑΗ ΗΔ σύμμετρός ἐστι μήκει τῇ ἐκκειμένῃ ῥητῇ τῇ
ΑΓ· ἡ δὲ ὅλη ἡ ΑΗ τῆς προσαρμοζούσης τῆς ΔΗ
μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ· ἐπεὶ οὖν
ἡ ΑΗ τῆς ΗΔ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑ-
δ τοῦ ιζ τοῦ ι αυτῇ· ἐὰν ἄρα τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΔΗ
ἴσον παρὰ τὴν ΑΗ παραβληθῇ ἐλλεῖπον εἴδει τε-
τραγώνῳ· εἰς σύμμετρα αὐτὴν διελεῖ· τετμήσθω
οὖν ἡ ΔΗ δίχα κατὰ τὸ Ε· καὶ τῷ ἀπὸ τῆς ΕΗ ἴσον
παρὰ τὴν ΑΗ παραβεβλήσθω ἐλλεῖπον εἴδει τε-
δ τοῦ λα τοῦ α τραγώνῳ· καὶ ἔστω τὸ ὑπὸ τῶν ΑΖ ΖΗ· καὶ ἤχθωσαν
διὰ τῶν Ε Ζ σημείων τῇ ΑΓ παράλληλοι αἱ ΕΘ ΖΙ
ΗΚ· σύμμετροι ἄρα εἰσὶν αἱ ΑΖ ΖΗ· σύμμετρον ἄρα
καὶ τὸ ΑΙ τῷ ΖΚ· καὶ ἐπεὶ αἱ ΑΖ ΖΗ σύμμετροί εἰσι μή-
κει· καὶ ἡ ΑΗ ἄρα ἑκατέρᾳ τῶν ΑΖ ΖΗ σύμμετρός
ἐστι μήκει· ῥητὴ δὲ ἡ ΑΗ καὶ ἀσύμμετρος τῇ ΑΓ μή-
κει· καὶ ἑκατέρα ἄρα τῶν ΑΖ ΖΗ ῥητή ἐστι καὶ ἀσύμμε-
τρος τῇ ΑΓ μήκει· καὶ ἑκάτερον ἄρα τῶν ΑΙ ΖΚ
μέσον ἐστί· πάλιν ἐπεὶ σύμμετρός ἐστιν ἡ ΔΕ τῇ ΕΗ μή-
κει· καὶ ἡ ΔΗ ἄρα ἑκατέρᾳ τῶν ΔΕ ΕΗ σύμμετρος

ῥητὴ ἄρα καὶ ἑκατέρα τῶν ΔΕ ΕΗ καὶ ἀσύμμετρος τῇ ΑΓ μήκει·

ἐστι· ῥητὴ δὲ ἡ ΗΔ καὶ ἀσύμμετρος τῇ ΑΓ μήκει· ἑκάτε-
ρον ἄρα τῶν ΔΘ ΕΚ μέσον ἐστί· καὶ ἐπεὶ αἱ ΑΗ ΗΔ δυνάμει
μόνον σύμμετροί εἰσιν· ἀσύμμετρος ἄρα ἐστὶ μήκει ἡ ΑΗ
τῇ ΗΔ· ἀλλ' ἡ μὲν ΑΗ τῇ ΑΖ σύμμετρός ἐστι μήκει· ἡ
δὲ ΔΗ τῇ ΕΗ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΑΖ τῇ ΕΗ μή-
κει· ὡς δὲ ἡ ΑΖ πρὸς τὴν ΕΗ· οὕτως ἐστὶ τὸ ΑΙ πρὸς
τὸ ΕΚ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΑΙ τῷ ΕΚ· συνεστάτω
οὖν τῷ μὲν ΑΙ ἴσον τετράγωνον τὸ ΛΜ· τῷ δὲ ΖΚ
ἴσον ἀφῃρήσθω τὸ ΝΞ περὶ τὴν αὐτὴν γωνίαν ὂν
τῷ ΛΜ· περὶ τὴν αὐτὴν ἄρα διάμετρόν ἐστι τῷ ΛΜ ΝΞ·
ἔστω αὐτῶν διάμετρος ἡ ΟΡ καὶ καταγεγράφθω τὸ σχῆ-
μα· ἐπεὶ οὖν τὸ ὑπὸ τῶν ΑΖ ΖΗ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς
ΕΗ· ἔστιν ἄρα ὡς ἡ ΑΖ πρὸς τὴν ΕΗ· οὕτως ἡ ΕΗ πρὸς
τὴν ΖΗ· ἀλλ' ὡς μὲν ἡ ΑΖ πρὸς τὴν ΕΗ· οὕτως ἐστὶ τὸ
ΑΙ πρὸς τὸ ΕΚ· ὡς δὲ ἡ ΕΗ πρὸς τὴν ΖΗ· οὕτως ἐστὶ
τὸ ΕΚ πρὸς τὸ ΖΚ· τῶν ἄρα ΑΙ ΖΚ μέσον ἀνάλογον
ἐστὶ τὸ ΕΚ· ἔστι δὲ καὶ τῶν ΛΜ ΝΞ τετραγώνων μέσον ἀ-
νάλογον τὸ ΜΝ· καὶ ἔστιν ἴσον τὸ μὲν ΑΙ τῷ ΛΜ· τὸ δὲ
ΖΚ τῷ ΝΞ· καὶ τὸ ΕΚ ἄρα ἴσον ἐστὶ τῷ ΜΝ· ἀλλὰ τὸ μὲν
ΜΝ ἴσον ἐστὶ τῷ ΛΞ· τὸ δὲ ΕΚ ἴσον τῷ ΔΘ· καὶ ὅλον
ἄρα τὸ ΔΚ ἴσον ἐστὶ τῷ ΥΦΧ γνώμονι καὶ τῷ ΝΞ·
ἔστι δὲ καὶ τὸ ΑΚ ἴσον τοῖς ΛΜ ΝΞ· λοιπὸν ἄρα τὸ ΑΒ
ἴσον ἐστὶ τῷ ΣΤ· τουτέστι τῷ ἀπὸ τῆς ΛΝ τετραγώ-
νῳ· ἡ ΛΝ ἄρα δύναται τὸ ΑΒ χωρίον· λέγω ὅτι ἡ
ΛΝ μέσης ἀποτομή ἐστι δευτέρα· ἐπεὶ γὰρ μέσα ἐδεί-
χθη τὰ ΑΙ ΖΚ καί ἐστιν ἴσα τοῖς ἀπὸ τῶν ΛΟ ΟΝ· μέ-

καὶ ὡς ἄρα τὸ ΑΙ πρὸς τὸ ΕΚ οὕτως τὸ ΕΚ πρὸς τὸ ΖΚ·

BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo